TEZAUR LITURGIC

30 IANUARIE

# PARACLISUL SF.TREI IERARHI VASILE CEL MARE, GRIGORIE TEOLOGUL, IOAN GURĂ DE AUR

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# Παρακλητικός Κανών στους Αγίους Τρείς Ιεράρχες Βασίλειο τον Μέγα, Γρηγόριο τον Θεολόγο και Ιωάννη τον Χρυσόστομο

Ὁ Ἱερεύς: Εὐλογητός ὁ Θεός ἡμῶν πάντοτε, νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης: Ἀμήν.

Ψαλμός ρμβ΄ (142)
Θεός Κύριος, καί ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος ἅ΄. Ἐξομολογεῖσθε τῷ Κυρίω, καί ἐπικαλεῖσθε τό ὄνομα τό ἅγιον αὐτοῦ.

Στίχος β΄. Πάντα τά ἔθνη ἐκύκλωσαν μέ, καί τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Στίχος γ΄. Παρά Κυρίου ἐγένετο αὕτη, καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.

Εἶτα τά παρόντα Τροπάρια.
Ἦχος δ΄. Ὁ ὑψωθεῖς ἐν τῷ Σταυρῷ.
Ὡς οἰκονόμοι τῶν σεπτῶν μυστηρίων, καί βραβευταί τῶν ἐκ Θεοῦ χαρισμάτων, Βασίλειε, Γρηγόριε,

Χρυσόστομε, λύσατε τόν καύσωνα τῆς ἀθλίας ψυχῆς μου, παύσατε τόν κλύδωνα, τῶν ἀγρίων παθῶν μου, καί πρός σοφίας κτῆσιν ἀληθοῦς, δί' ἐναρέτου ζωῆς μέ ἰθύνατε.

Θεοτοκίον.
Οὐ σιωπήσομεν πότε, Θεοτόκε, τά, δυναστείας σου λαλεῖν οἱ ἀναξιοι• εἰ μή γάρ σύ προίστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δέ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ• σούς γάρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ψαλμός ν΄ (50)
Εἶτα ψάλλομεν τάς Ὠδᾶς τοῦ Κανόνος.
Ὠδή ἄ΄. Ἦχος πλ. δ΄. Ὑγρᾶν διοδεύσας.
Σωτήριοι φύλακες καί φρουροί, ἐδείχθητε πάσιν, Ἱεράρχαι θεοειδεῖς, Βασίλειε σύν τῷ Γρηγορίω, καί Χρυσοστόμω, ἡμᾶς περιέποντες.

Ὡς μύσται σοφίας τῆς θεϊκῆς δεινῶν σοφισμάτων, τῆς τοῦ πλάνου ἐπιβουλῆς, Βασίλειε σύν τῷ Γρηγορίω, καί Χρυσοστόμω, ἡμᾶς ἐκλυτρώσασθε.

Ζωῆς κεκρυμμένης τῆς ἐν Χριστῷ, σοφοί δημηγόροι. τῶν κρύφιων ἡμῶν παθῶν, νεκρώσατε τάς ἐπαναστάσεις, καί πρός ζωήν ἡμᾶς θεῖον ἐγείρατε.

Ὁ βίος μου πλήρης ὤφθη δεινῶν, Πανύμνητε Κόρη, διά πλήθους ἁμαρτιῶν, σύ οὖν μή παρίδης μέ εἰς τέλος, ἀλλ' ἐπιστάσα τό ἄλγος μου κούφισον.

Ὠδή γ΄. Οὐρανίας ἁψίδος...
Ἰατροί θεηγόροι, πάθη ψυχῶν παύσατε καί τῶν καρδιῶν τάς ὀδύνας, ἡμῶν ἰάσασθε, τή μυστική δωρεά, μυσταγωγοῦντες ἀΰλως, ἡμᾶς πρός ἐνάρετον, βίον καί κρείττονα.
Τοῦ ἐχθροῦ τήν μανίαν, τήν καθ' ἡμῶν λύσατε, μέγιστε Βασίλειε πάνυ, καί θεῖε Γρηγόριε, καί Ἰωάννη κλεινέ, καί ἐν εἰρήνη ἀπτώτω, καί ἀγάπη ἅπαντας, ἡμᾶς συνάξατε.

Ἐκ πηγῶν σωτηρίου, ὕδωρ ζωῆς ἄϋλον, τοῖς ἐν νοητή οὖσι δόξη, πλουσίως βλύσατε, ὡς Ἱεράρχαι σοφοί, καί πρός νομάς ἀφθαρσίας, τόν λαόν ἰθύνατε, τόν περιούσιον.

Θεοτοκίον
Ἡ ἀπόφασις Κόρη, ἡ κατ' ἐμοῦ ἤγγικε, καί ἡ καταισχύνη πρός θύραν, πρόδηλος ἕστηκεν, ἐγώ δέ ἄφρων ὤν, τόν ἀδελφόν κατακρίνω, οἴμοι τί γενήσωμαι; σύ οὖν μέ λύτρωσαι.

Διασωσον Ἱεραρχῶν ἐνθέων τριάς ἁγία, ἐκ βιαίων καί χαλεπῶν περιστάσεων, τούς προσιόντας προφρόνως ὑμῶν τή σκέπη.

Ἐπιβλεψον ἐν εὐμενεία, πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν του σώματος κάκωσιν, καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή
Προστᾶται θερμοί, καί εὐκλεεῖς ποιμάντορες, καί πύργοι στερροί, ἡμῶν καί ἀντιλήπτορες, Βασίλειε, Γρηγόριε, καί Χρυσόστομε, μύσται οὐράνιοι, ἐκ κινδύνων καί πόνων ὀχληρῶν, ἀτρώτους ἡμᾶς διατηρήσατε.

Ὠδή δ΄. Εἰσακήκοα Κύριε
Μυστηπόλοι οὐράνιοι, πρός μυσταγωγίαν σοφίας κρείττονος, ἐκ δεινῶν περιπλανήσεων, τάς ψύχος ἡμῶν καθοδηγήσατε.

Ἀροτῆρες τοῦ Πνεύματος, τήν κεχερσωμένην ταῖς παραβάσεσιν, γεωργήσατε καρδίαν μου, ἐν αὐτή τά κρείττω κατασπείροντες.

Σωτηρίαν αἰτήσατε, τήν κατά ψυχήν καί σῶμα μακάριοι, Ἰωάννη καί Γρηγόριε, σύν τῷ Βασιλείω ἡμίν ἔνδοξοι.

Θεοτοκίον
Ὡς πιπτόντων ἀνόρθωσις, τόν κατερραγμένον καί ἀπολλύμενον, σπεῦσον σῶσον μέ Πανάμωμε, φόρον μοί τόν θεῖον πρυτανεύουσα.

Ὠδή ε΄. Φώτισον ἡμᾶς
Ἄνωθεν ἡμᾶς, Ἱεράρχαι παμμακάριστοι, ἐποπτεύσατε στοργή τή πατρική, τήν ζωήν ἡμῶν σεπτῶς διαρρυθμίζοντες.

Ρῶσιν ἀληθῆ, ὥσπερ δρόσος ἀναψύχουσα, Ἱεράρχαι, τῆς Τριάδος λειτουργοί, ὁ σοφός ὑμῶν παρέχει λόγος ἅπασι.

Χείλη πονηρά, ὦ Βασίλειε μακάριε, καί Γρηγόριε Χρυσόστομε σοφέ, τά λαλοῦντα καθ' ἡμῶν ἄδικα φράγματα.

Θεοτοκίον
Ἴασαι Ἁγνή, τῆς ψυχῆς μου τήν κατάπτωσιν, καί τόν σάλον τῶν πολλῶν μου πειρασμῶν, εἰς γαλήνην καί ἀνάπαυσιν μετάβαλε.

Ὠδή ς΄. Τήν δέησιν ἐκχεῶ
Θεράποντες τῆς Τριάδος πάνσοφοι, θεολόγε καί Βασίλειε μάκαρ, καί Ἰωάννη κλεινέ Χρυσολόγε, τήν ἀληθῆ θεραπείαν βραβεύσατε, πρεσβευτικαῖς ὑμῶν λιταῖς,τοῖς τή σκέπη ὑμῶν καταφεύγουσιν.

Ὑπάρχοντες θησαυροί τῆς χάριτος, ὡς ποικίλων ἀρετῶν ὑποφῆται, τάς πενομένας ἡμῶν διανοίας, τοῦ Παρακλήτου τῷ ἄρτω στηρίξατε, σύν Βασιλείω τῷ Σοφῷ,Θεολόγε κλεινέ καί Χρυσόστομε.

Τήν ἄϋλον λειτουργίαν Ἅγιοι, ἀναφερόντες Θεῷ ἐν ὑψίστοις, ἱλαστηρίους θερμᾶς καί δεήσεις, ὑπέρ ἡμῶν ἀναπέμπειν μή παύσησθε• τῷ Ζωοδότῃ Ἰησοῦ, ὅπως πάσης ρυσθῶμεν κακώσεως.

Θεοτοκίον
Ἀπείρανδρε Μαριάμ ὁλόφωτε, κοσμοπόθητε Πανύμνητε Κόρη, τῶν ἐπελθόντων μου ρύσαι κινδύνων, καί τῆς μελλούσης ἀνάγκης καί θλίψεως, ἀπάλλαξον μέ τόν οἰκτρόν, ὅπως βίον διάγω ἡσύχιον.

Διασωσον Ἱεραρχῶν ἐνθέων τριάς Ἁγία, ἐκ βιαίων καί χαλεπῶν περιστάσεων, τούς προσιόντας προφρόνως ὑμῶν τή σκέπη.

Ἄχραντε, ἡ διάλογου τόν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικήν παρρησίαν.

Κοντάκιον Ἦχος β'. Προστασία τῶν Χριστιανῶν
Ἱεράρχαι τῆς Ἐκκλησίας θεοσοφοί, καί φωστῆρες τῆς εὐσεβείας θεοφωτοι, ἐπισπεύσατε ὡς συμπαθεῖς είς τήν βοήθειαν ἡμῶν, μή οὖν παρίδητε τάς φωνᾶς, καί τούς ἐκ βάθους στεναγμούς, τῶν βοώντων ἑκάστοτε. Βασίλειε θεοφάντορ, Γρηγόριε Θεολόγε, σύν Ἰωάννῃ τῷ κλεινῷ, βοηθεῖτε ἡμίν πάντοτε.

Προκείμενον
Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην καί οἱ

ὅσιοί σου ἀγαλλιάσονται.
Στίχος. Εἰς πάσαν τήν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καί εἰς τό πέρατα τῆς οἰκουμένης τά ρήματα αὐτῶν.

Εὐαγγέλιον. Ἐκ τοῦ κατά Ματθαῖον (κέφ. ἐ΄ 14-19).
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς• Ὑμεῖς ἔστε τό φῶς τοῦ κόσμου• οὐ δύναται πόλι; κρυβῆναι ἐπάνω ὀρούς κειμένη• οὐδέ καίουσι λύχνον καί τιθέασιν αὐτόν ὑπό τόν μόδιον, ἀλλ’ ἐπί τήν χνίαν, καί λάμπει πάσι τοῖς ἐν τή οἰκία. Οὕτω λαμψάτω τό φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τά καλά ἔργα καί δοξάσωσι τόν Πατέρα ὑμῶν τόν ἐν τοῖς οὐρανοῖς. Μή νομίσητε ὅτι ἦλθον καταλύσαι τόν νόμον ἤ τούς ποοφήτας, οὐκ ἦλθον καταλύσαι, ἀλλά πληρῶσαι. Ἀμήν γάρ λέγω ὑμίν. Ἕως ἄν παρέλθη, ὁ οὐρανός καί ἡ γῆ, ἰῶτα ἐν ἡ μία κεραία οὐ μή παρέλθη ἀπό τοῦ νόμου, ἕως ἄν πάντα γένηται. Ὅς ἐάν οὖν λύση μίαν τῶν ἐντολῶν τοῦτον τῶν ἐλαχίστων καί διδάξη οὕτω τούς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τή βασιλεῖς τῶν οὐρανῶν• ὅς δ’ ἄν ποιήση καί διδάξη, οὗτος μέγας κληθήσεται ἐν τή βασιλεῖς τῶν οὐρανῶν.

Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.
Ταῖς τῶν διδασκάλων πρεσβείαις, Ἐλεῆμον, ἑξάλειψον τά πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχος: Ἐλεῆμον, ἐλέησον μέ ὁ Θεός κατά τό μέγα ἔλεός σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τό ἀνόμημά μου.

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι
Ἄστρα φαεινότατα, τῆς νοητῆς φωταυγείας, σάλπιγγες θεοπνενστοι, τῶν ὑπέρ κατάληψιν ἀναβάσεων, χαλεπῶν θλίψεων, καί ἀσθενημάτων, καί ποικίλων παραπτώσεων, ἀτρώτους πάντοτε, ἅπαντας ἡμᾶς διασώζετε, πταισμάτων τήν συγχώρησιν, παρά τοῦ Χριστοῦ, ἡμίν νέμοντες, σύν τῷ Βασιλείω, Γρηγόριε, σοφίας ὁ φωστήρ, καί Ἰωάννης Χρυσόστομε, Ἐκκλησίας πρόβολοι.

Ὠδή ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας
Ἱλασμόν τῶν πταισμάτων, καί ἡμῶν ἀκηράτων, καρποφορίαν σεμνήν, Βασίλειε τρισμάκαρ, Γρηγόριε Θεοφρον, καί Χρυσόστομε Ὅσιε, τοῖς πεποιθόσιν ὑμίν βραβεύσαντες ἀξίως.

Γαλήνην τήν καρδίαν, εὐκραές δέ τό σῶμα, καί τήν ψυχήν ἱλαράν, Βασίλειε τρισμάκαρ, Γρηγόριε Θεοφρον, καί Χρυσόστομε Ὅσιε, διατηρεῖτε ἀεί, ἡμῶν δί’εὐτραγίας.

Εὐσυμπάθητον τρόπον, εὐπροσήγορον λόγον, καί γνώμην θεοπειθῆ, φιλαλήθως, ἡμᾶς δί᾽ εὐσεβείας, ἀξιώσατε Ἅγιοι, ὡς Ἱεράρχαι σοφοί, ὡς μύσται τῶν ἀρρήτων.

Θεοτοκίον

Ραντισμῷ ζωηφόρῳ, τῶν ἀϋλων χαρίτων, τῆς σῆς κυρείας Ἁγνή, ψυχῆς μου τήν κακίαν, καί πάσαν ρυπαρίαν, ἐκκαθάρασα ἔκπλυνον, ἵνα ὑμνῶ σέ ἀεί, τήν Κεχαριτωμένην.

Ὠδή ἡ΄. Τόν βασιλέα

Ἀμέμπτου βίου, θεοειδεῖς ὑποφῆται, κυβερνήσατε ἡμᾶς δί᾽ ἐμμελείας, πρός δικαιοσύνης, ἐνθέους ἀναβάσεις.

Συντετριμμένον, τή πονηρά μέ ἀπάτη, ἀνορθώσατε ὡς θεῖοι Ἱεράρχαι, καί τήν τῆς ψυχῆς μου, ἰάσασθε ὀδύνην.

Ἱερομύσται, τῆς ὑπέρ νοῦν ἐπιπνοίας, ἱερώσατε ἡμῶν τάς διανοίας, τή ἐκφαντορία, τῆς θείας εὐδοκίας.

Θεοτοκίον

Μεμολυσμένον, τή τῶν παθῶν ἐργασία ἀποκάθαρον τόν νοῦν μου Θεοτόκε, καί τῆς ἐνεστώσης, ρύσαι μέ καταδίκης.

Ὠδή θ΄. Κυρίως Θεοτόκον

Οἱ φίλοι του Σωτῆρος, Βασίλειε παμμάκαρ, καί

Ἰωάννη καί θεῖε Γρηγόριε, τῆς τῶν χειρόνων φιλίας, ἠμᾶς λυτρώσασθε.

Ὑψώσατε τάς χεῖρας ὑμῶν τή Τριάδι, ὦ θεηγόροι Πατέρες τρισμέγιστοι, ὑπέρ ὑμῶν τῶν αἰνούντων, ὑμῶν τήν ἔλλαμψιν.

Ὑδάτων ψυχοτρόφων, Βασίλειε Θεοφρον, καί Χρυσολόγε καί θεῖε Γρηγόριε, τάς ζωτικᾶς ἐπιρροίας, ἠμίν ὀμβρήσατε.

Θεοτοκίον

Ὑφέρπων μοί δολίως, ὁ ἀνθρωποκτόνος, τάς πονηρᾶς ὑπολήψεις ἐκχέει μοί, ἀλλά τούτου τό θράσος, Παρθένε συντριψον.

Ἄξιον ἔστιν ὡς ἀληθῶς, μακαρίζειν σέ τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον, καί Μητέρα τοῦ Θεοῦ ἠμῶν• τήν τιμιωτέραν τῶν Χερουβίμ, καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον, σέ μεγαλύνομεν.

Τήν ὑψηλοτέραν τῶν οὐρανῶν, καί καθαρωτέραν λαμπηδόνων ἡλιακῶν, τήν λυτρωσαμένην ἠμᾶς ἐκ τῆς κατάρας, τήν Δέσποιναν τοῦ κόσμου, ὕμνοις τιμήσωμεν.

Μεγαλυνάρια.
Τούς τῆς εὐσεβείας καθηγητᾶς, καί τῆς ἐκκλησίας, νυμφοστόλους καί ὁδηγούς, σύν τῷ Βασιλείω, Γρηγόριον τόν Μέγαν, καί Ἰωάννην ἅμα, ὕμνοις τιμήσωμεν.

Χαίρετε σοφίας μυσταγωγοί, καί τῶν ἀπορρήτων, δημηγόροι ὑφηγηταί, χαίρετε δογμάτων, οἱ ρήτορες τῶν θείων, φωστῆρες οἰκουμένης, Πατέρες μέγιστοι.

Βάσις ὁ Βασίλειος τῶν πιστῶν, γρήγορον δέ στόμα, ὁ Γρηγόριος τοῦ Χριστοῦ, χάριν δέ προχέων, ὁ Ἰωάννης ὤφθη. Ὑμνήσωμεν οὖν πάντες, τούτων τήν ἕνωσιν.

Χαίροις θεηγόρε σεπτή Τριάς, Βασίλειε Πάτερ, καί Γρηγόριε Ἱερέ, σύν τῷ Ἰωάννη, τῷ ὄντι χρυσολόγω, Τριάδος τῆς Ἁγίας, λαμπροί ἐκφάντορες.

Ἔλλαμψιν αἰτήσατε ἐκ Θεοῦ, καί πταισμάτων λύσιν, καί κινδύνων ἀποφυγήν, ἡμίν δωρηθῆναι, τοῖς ἀτενῶς ὁρῶσιν, ὑμῶν τή μεσιτεία, Πατέρες Ὅσιοι.

Σύνεσιν ἐν βίω καρποφορεῖν, καί εὔσχημον τρόπον, καί ἀγάπην εἰλικρινῆ, ρεύσατε ἐνθέως, ὑμῶν ταῖς προστασίαις, πατέρες πρωτοπόροι, ἡμᾶς δεόμεθα.

Πᾶσαι τῶν Ἀγγέλων αἵ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἁγίοι πάντες, μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον
Τροπάριον. Ἦχος ἅ΄.
Τούς τρεῖς μεγίστους φωστήρας τῆς τρισηλίου Θεότητος, τούς τήν Οἰκουμένην ἀκτίσι, δογμάτων θείων πυρσεύσαντας, τούς μελιρρύτους ποταμούς τῆς σοφίας, τούς τήν κτίσιν πάσαν, θεογνωσίας νάμασι καταρδεύσαντας, Βασίλειον τόν μέγαν, καί τόν Θεολόγον Γρηγόριον, σύν τῷ κλείνω Ἰωάννη, τῷ τήν γλῶτταν χρυσορρήμονι. Πάντες οἱ τῶν λόγων αὐτῶν ἐρασταί, συνελθόντες ὕμνοις τιμήσωμεν, αὐτοί γάρ τή Τριάδι ὑπέρ ἠμῶν ἀεί πρεσβεύουσιν.

Ἐν τή ἀπολύσει ψάλλομεν τό παρόν προσόμοιον.

Ἦχος β΄. Ὄτε ἐκ τοῦ ξύλου σέ νεκρόν.
Πάσης σκοτοδίνης τῶν παθῶν, καί καταφορᾶς κακοτρόπου, καί πονηρᾶς ἀγωγῆς, ἅπαντας λυτρώσασθε ἠμᾶς μακάριοι, θεοφάντορ Βασίλειε, Γρηγόριε θεῖε, καί κλεινέ Χρυσόστομε, Χριστοῦ θεράπονποντες, γνώσει δέ ὑμῶν τῶν δογμάτων, χάριν φωτισμοῦ σωτηρίου, λάμψατε αἰσίως ταῖς ψυχαῖς ἠμῶν.

Δέσποινα προσδεξαι, τάς δεήσεις τῶν δούλων σου, καί λύτρωσαι ἠμᾶς, ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Τήν πάσαν ἐλπίδα μου, εἰς σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξον μέ ὑπό τήν σκέπην σου.